## <u>ΔΕΗΣΙΣ ΥΠΕΡ ΚΑΤΑΠΑΥΣΕΩΣ ΤΩΝ ΠΥΡΚΑΓΙΩΝ</u>

**ποιηθεῖσα ὑπὸ τοῦ**
**Σεβασμιωτάτου Συνοδικοῦ Μητροπολίτου**
**Μάνης κ. Χρυσοστόμου**

(Νὰ ἀναπεμφθῇ μετὰ τὴν Ὀπισθάμβωνον Εὐχὴν
τῆς Θείας Λειτουργίας τῆς Κυριακῆς 27ης Αὐγούστου 2023)

**Ἱερεύς·** Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Λαός·** Κύριε, ἐλέησον. **(3)**

**Ἱερεύς·** Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

**Λαός·** Κύριε, ἐλέησον. **(3)**

**Ἱερεύς·** Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν **(δεῖνος)** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Λαός·** Κύριε, ἐλέησον. **(3)**

**Ἱερεύς·** Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου, ἔτι δέ καί τῶν ἀδελφῶν ἡμῶν τῶν ὑπὸ τοῦ πυρός πληγέντων.

**Λαός·** Κύριε, ἐλέησον. **(3)**

**Ἱερεύς·** Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ᾽ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

**Λαός·** Κύριε, ἐλέησον. (3)

**Ἱερεύς·** Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

**Λαός·** Κύριε, ἐλέησον. (3)

**Ὁ Ἱερεύς τήν κάτωθι Εὐχήν, ποίημα τοῦ Σεβασμιωτάτου Μητροπολίτου Μάνης κ. Χρυσοστόμου Γ΄·**

Δέσποτα Κύριε ὁ Θεός ἡμῶν, Παντοκράτορ καὶ Παντοδύναμε, Σὲ ἱκετεύομεν καὶ Σὲ παρακαλοῦμεν κατάσβεσον πάσας τὰς πυρκαϊάς καὶ τὰς ἀναζωπυρήσεις, διάλυσον ἀπειλὴν καὶ ὀργὴν πυρὸς καὶ διάσωσον καὶ διαφύλαξον πάντα ἄνθρωπον, ὡς καὶ προστάτευσον τῆς γῆς πανίδα καὶ χλωρίδα, τὰ σὰ δημιουργήματα. «Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν».

Βοήθησον δέ, ἐν τῇ ὑπηρεσίᾳ αὐτῶν πάντας τοὺς πυροσβέστας καὶ τοὺς βοηθοὺς αὐτῶν καὶ ἐνίσχυσον, ἐνδυνάμωσον καὶ ἐμψύχωσον πρὸς ἐπιτέλεσιν τοῦ ἔργου αὐτῶν.

Σὺ γὰρ εἶ ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ πάσης φιλανθρωπίας, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Λαός·** Εἴη τό ὄνομα Κυρίου εὐλογημένον.....

**καί τά λοιπά τῆς Ἀπολύσεως τῆς Θείας Λειτουργίας**